# CORPUS FONTIUM HISTORIAE BYZANTINAE

CONSILIO SOCIETATIS INTERNATIONALIS STUDIIS BYZANTINIS PROVEHENDIS DESTINATAE EDITUM

VOLUMEN LIII

SERIES BEROLINENSIS

EDIDIT
ATHANASIOS KAMBYLIS

DE GRUYTER

# CHRONOGRAPHIAE

QUAE

# THEOPHANIS CONTINUATI

NOMINE FERTUR

# LIBRI I–IV

RECENSUERUNT ANGLICE VERTERUNT INDICIBUS
INSTRUXERUNT
MICHAEL FEATHERSTONE ET JUAN SIGNES CODOÑER

NUPER REPERTIS SCHEDIS CAROLI DE BOOR
ADIUVANTIBUS

DE GRUYTER

τῖνος δὲ ἦν – ἐν μέσῳ που συρρυεὶς τὸν πολὺν ἐκεῖνον διέλυσε θροῦν, εὐφημίαις τε βάλλων αὐτὸν καὶ παρατάξεις ἀνθοπλίζων κατὰ τῶν ἐπανισταμένων. ὁ μὲν δὴ Βάρδας οὕτως ἐξ ἀνθρώπων ἐγένετο, καὶ οὕτως ἡ κατὰ τῶν Κρητῶν διελύθη στρατιά, τοῦ βασιλέως κατὰ τὸ Βυζάντιον ὑποστρέψαντος.

**42.** Καὶ ἕτερον δὲ σημεῖον πρὸ δύο ἢ καὶ τριῶν ἡμε|ρῶν τῷ Βάρδᾳ B 207 παρεσημαίνετο· ἡ γὰρ Θεοδώρα, εἴτ᾽ ἄλλως θεοφορουμένη εἴτε δὴ καὶ ὑπό τινος τῶν μεμελετημένων διακούσασα, ἐσθῆτά τινα παγκάλην μὲν καὶ χρυσαῖς πέρδιξι πεποικιλμένην, οὐκ ἀναλογοῦσαν δὲ τῷ μήκει τῆς ἡλικίας αὐτοῦ ἀλλὰ καὶ πολὺ ἀποδέουσαν αἰνιγματωδῶς ἐξαπέστειλεν. τό τε γὰρ πέρδικας ἀλλὰ μή τινας ἄλλας τῶν ὀρνίθων ἐνυφᾶναι, ἀλλὰ μὴν καὶ τὸ τῆς ἐσθῆτος ἐνδέον εἰς δόλον ἐμπεσεῖν θᾶττον ἢ ἔδει προυσήμαινεν.

**43.** Πλὴν ἀλλ᾽ ὁ μὲν βασιλεὺς ὑπέστρεφε καὶ τόν Βασίλειον, ἐπεὶ μὴ εὐμοίρει παιδός, υἱοποιεῖται καὶ τῆς τῶν μαγίστρων τιμῆς ἀξιοῖ. ἐπεὶ δὲ χρόνου προϊόντος τὰ κοινὰ διοικεῖν οὐχ οἷός τε ὁ Μιχαὴλ ἦν καὶ τῆς ἑαυτοῦ ἀφελείας ᾔσθάνετο καὶ ἅμα ἐπανάστασιν μελετᾶσθαι καὶ ἀποστασίαν παρὰ τῆς συγκλήτου διήκουεν τῷ τὰ τῶν Ῥωμαίων πράγματα διοικεῖσθαι κακῶς, καὶ τὸ περιμάχητον διάδημα τῇ κεφαλῇ αὐτοῦ ἐπιτίθησι, καὶ βασιλέα τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, μηνὶ Μαΐῳ, εἰκάδι ἕκτῃ, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἀναδείκνυσί τε καὶ ἀναγορεύει κατὰ τὴν μεγά|λην f.71v ἐκκλησίαν ᾗ ἐπώνυμον Σοφία θεοῦ. ἀλλ᾽ ὅστις μὲν οὗτος ὁ Βασίλειος καὶ ὅθεν, καὶ ὅπως εἰς γνῶσιν ἦλθε τοῦ κρατοῦντος, ἡ κατ᾽ αὐτὸν ἱστορία δηλώσει· τὰ νῦν δὲ τῆς βασιλείου δόξης ἀξιωθεὶς εἴχετο μὲν τῆς βασιλείας, ἀπείχετο δὲ τῶν καθ᾽ ἑκάστην ἁμιλλητηρίων καὶ ἱπποδρομιῶν καὶ τῶν περὶ τὸν αἰσχρότατον Γρῦλον καὶ ψευδοπατριάρχην αἰσχρουργιῶν, ὧν ἀκαίρως ἐνετρύφα ὁ Μιχαήλ. | B 208

**43.**6–9 : die 26 Maii a. 866 Basilius imperialem coronam accepit

Cap. 42: GeorgCont (Istrin) 12.14–18 | PsSym 677.9–15 Cap. 43: GeorgCont (Istrin) 13.31–14.20; Gen 79.49–68; Log A 252.362–253.389 | PsSym 679.15–680.6; Scyl 113.20–25

51 ὗτως V 52 στρατεία coni. Boor in app., cf. VBas 17.60 στρατεία et Scyl 113.20 ἐκστρατεία **42.**1 post καὶ add. πρὸ edd 3 ἐσθῆτα τινὰ V 6 γὰρ : μὲν Comb 6 ἄλλας edd : ἄλλως V 6 ἐνυφάναι V : ἀνυφάναι Comb 7 προσήμανεν edd **43.**1 καὶ τὸν : τόν τε edd 3 οὐχ V 5 πράγματα om. edd 6 καὶ post κακῶς secludendum dubitanter putavit Kamb 6 τὸ : τῶ V 6 ἐπιτήθησι ante corr. V 7 τῆς om. edd 10 ἦλθεν (sic) ante εἰς γμῶσιν edd 10 καταυτὸν V 12 ἀπήχετο V 12 ἱπποδρομιῶν edd Boor : ἱπποδρομίων V 13 τὸν : τῶν edd

**44.** Πάντων μὲν γὰρ κόρον εἶναι καὶ τῶν αἰσχρῶν καὶ τῶν φυσικῶν εἴρηταί τε πολλοῖς, καὶ ἡ πεῖρα τούτων διδάσκαλος ἀκριβής· Μιχαὴλ δὲ τῷ τότε κρατοῦντι οὔτε τῶν ἱπποδρομιῶν οὔτε μὴν τῶν ἄλλων ἀκρατοποσιῶν τε καὶ αἰσχρῶν κόρος ἦν, ὡς φασίν. ἃ πειρώμενος κωλύειν ὁ Βασίλειος καὶ πορρωτέρω τούτων ποιεῖν αὐτόν, νῦν μὲν παραινέσεσι χρώμενος, νῦν δ᾽ ἄλλως μῖσος παρὰ τῶν πολιτῶν καὶ τὰς παρὰ τῶν ἱερέων ἀρὰς καὶ τὰς τῆς συγκλήτου ἐπαναστάσεις προτιθεὶς καὶ οἷον ἐνώπιον αὐτοῦ ἀναζωγραφῶν, ἔλαθε τῷ φθόνῳ ἑαυτὸν καθυποβαλών, καὶ ἀντὶ φίλου ἐχθρὸς καὶ μεμισημένος ὁ υἱοθετηθεὶς ἐνομίζετο. ἐντεῦθεν οὐ πολὺ τὸ ἐν μέσῳ, καί τινα ἄλλον, τοῦ βασιλικοῦ δρόμωνος ἐρέτην τηνικαῦτα τελοῦντα – Βασι<λι>κῖνος οὗτος ἐλέγετο, καὶ ἀδελφὸς ἦν Καπνογένους ἐκείνου τοῦ τὴν ὑπαρχικὴν ἀξίαν ἠξιωμένου τὸ δεύτερον – ἀγαγών, τὴν πορφύραν τε ἐνδύει καὶ τὸ διάδημα περιτίθησιν, καὶ τὰ παράσημα τῶν ὑποδημάτων περιβαλὼν ἐξάγει πρὸς τὴν σύγκλητον τῆς χειρὸς ἔχων αὐτόν, καὶ πρὸς τὴν γερουσίαν φησὶν ὡς "ἔδει πάλαι με τοῦτον εἰς τουτονὶ τὸν περίβλεπτον κόσμον, ὦ ἄνδρες, ἐπαγαγεῖν, ᾧ

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
δεύτερον δὲ συμφυὲς πέλει στέφος,
ἅπαντα δ᾽ ἁρμόζουσι πρὸς τὴν ἀξίαν,

ἢ τὸν Βασίλειον, ἐφ᾽ ᾧ καὶ μεταμεμέλημαι ἐφ᾽ οἷς αὐτὸν ἐβασίλευσα".

Αὕτη τῆς καταλύσεως αὐτοῦ ἡ ἀρχή. τοῦτο πάντας περιηχῆσαν ἐκπλα|γῆναί τε τούτους ἐποίησε καὶ ἀφασίᾳ καταληφθῆναι πολλῇ, ὅτι B 209 <ἡ> γῆ κατὰ τοὺς μυθικοὺς Γίγαντας βασιλέας σπαρτοὺς καθ᾽ ἑκάστην ἡμέραν ἀναδίδωσιν. ηὔξητο μὲν οὖν ἔκτοτε τὸ πρὸς τὸν Βασίλειον μῖσος, καὶ σφοδρότερον κατὰ τὴν τοῦ πυ|ρὸς φύσιν ἐγίνετο, ὑπέκκαυμα ἔχον καὶ f.72 αἴτιον τὸ μήτε συμφθείρεσθαι βούλεσθαι τούτοις αὐτὸν μήτε μὴν συν-

---

**44**.9–13 : ca. 1 Sept. a. 867 Basiliscinus imperialem coronam accepit

---

Cap. 44: VBas 25.4–28; 24.40–47; GeorgCont (Istrin) 15.18–17.24; Gen 79.69–80.84; VBas 25–26; Log A 255.430–260.5 | PsSym 681.13–21, 682.19–686.12; Scyl 113.27–114.52 || 1 Homerus, Il. 13.636; 17 Euripides, Aeolus fragm. Nauck 15.2;

---

**44**.3 ἱπποδρομιῶν edd Boor : ἱπποδρομίων V 4 ἀκρατοποσιῶν Boor : ἀκρατοποσίων V 8 ζωγραφῶν edd 9 μεμησημένος V 11 Βασι<λι>κῖνος edd, cf. VBas 25.10–11 et Scyl 113.29 Βασιλικῖνον : βασικῖνος V : Βασιλισκιανός PsSym 682.20 et 683.10 GeorgCont (Istrin) 5.24, 34 et 16.14, 24 16 ᾧ Boor, cf. Scyl 113.34 ἐφ᾽ ᾧ : ὃ V : om. edd 18 ante δεύτερον add. τὸ Boor e VBas 25.20, Scyl 113.37 (ACEB) et PsSym 683.13 : καὶ δεύτερον edd e Scyl 113.37 (FH) 18 συμφυνὲς V 19 ἅπαντα V PsSym f 253v 19 post ἀξίαν add. καὶ ὅτι πόσον ἦν κάλλιον τοῦτόν με ποιῆσαι βασιλέα edd e VBas 25.22, cf. PsSym 683.15 καὶ ὅτι πόσον οὖν κάλλιον – βασιλέα 20 καὶ om. edd 20 ἐφ᾽ fortasse delendum putavit Boor 23 <ἡ> γῆ coni. Kamb : δὴ V, quod om. edd 25 ἔχων V

ὑπάγεσθαι ταῖς ἀκολάστοις γνώμαις αὐτῶν. εἰς τοσαύτην γὰρ ὁ Μιχαὴλ πολλάκις ἄνοιαν ἐξ ἀκρατοποσίας καὶ μέθης ἐξώκειλεν ὡς κατ᾽ αὐτὴν μὲν καὶ τὸν ταύτης καιρὸν δεινά τινα καὶ πέρα δεινῶν ἐγκελεύεσθαι· τοῦ μὲν γὰρ ἀφαιρεῖσθαι τὰ ὦτα καὶ ἄλλου τὴν ῥῖνα καὶ τὴν κεφαλὴν ἑτέρου προσέταττεν· ἃ εἰ μή τινες οἴκτῳ κρατούμενοι παρημέλουν καὶ πρὸς τὴν αὔριον ἔπεμπον, ἀνάκλησίν τινα καὶ μεταμέλειαν τοῦ ἀνδρὸς ἐκδεχόμενοι, ὅπερ καὶ ἦν, κἂν ἀπώλετο σύμπας ὁ παραμένων αὐτῷ καὶ συγκαρτερῶν. μικροῦ δὲ καὶ Βασίλειος συναπώλετο, τῆς παροινίας οὐκ ὀλιγάκις παίγνιον γεγονώς. ἀλλ᾽ ἐκαρτέρει καὶ ἔμενε μετάμελόν τινα γενηθῆναι κατὰ τὸν ἄνδρα ὀψὲ γοῦν ὑποτοπάζων. ἀλλ᾽ οὐκ ἦν τοῦτον ὥσπερ ἁρμάτειον τροχὸν ἐκ πρώτης ἡλικίας καμφθέντα, οὐδ᾽ ἂν εἴ τι γένοιτο, τὴν ἐξ ἀρχῆς εὐθυωρίαν λαβεῖν. τοιγαροῦν καὶ μείζονα κατὰ Βασιλείου συρράπτει ἐπιβουλήν. ἡ δὲ ἦν ἐν τῷ κυνηγίῳ λόγῳ μὲν κατὰ τῆς θήρας ἔργῳ δὲ κατὰ τοῦ Βασιλείου τὴν τῆς λόγχης ῥῖψιν ποιῆσαί τινα τῶν ὑπασπιστῶν. καὶ τοῦτο αὐτὸς ὁ προσταγεὶς καὶ τὴν λόγχην ἀφεὶς κατὰ τὸν τῆς ἐξόδου και|ρὸν ἐξαγορεύσας δῆλον πεποίηκε καὶ πιστόν. ἀφῆκε B 210 μὲν οὖν οὗτος τὴν λόγχην ὁ κελευσθείς, διημάρτανε δέ· καὶ οὕτω σέσωστο ὁ Βασίλειος, ἔγγιστα θανάτου γενόμενος, ὑπὸ τοῦ τὸν θάνατον καταπεπατηκότος θεοῦ. ταῦτ᾽ οὖν ἔκπυστα γενόμενα πᾶσι καὶ φανερὰ τὴν κατ᾽ αὐτοῦ ἠκόνησε μάχαιραν. ἵνα γὰρ μὴ καὶ τὸν Βασίλειον ὡς πρὸ μικροῦ τὸν καίσαρα σφαττόμενον ἴδωσι, καὶ πρὸ τούτου αὐτὸν Θεόκτιστον, εἴτε βουλῇ τῆς συγκλήτου βουλῆς εἴτε γνώμῃ τῶν φιλούντων τὸν Βασίλειον – κοινὸς γὰρ καὶ κατ᾽ αὐτῶν ὁ θάνατος ἐπηπείλητο – σφάττεται ὑπὸ τῶν προκοίτων τοῦ βασιλέως ἀνδρῶν, κατὰ τὰ ἀνάκτορα τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος, μηνὶ Σεπτεμβρίῳ, εἰκάδι τετάρτῃ, ἰνδ. αʹ, ἔτους ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ ἑβδομηκοστοῦ ἕκτου, ὥρᾳ τῆς νυκτὸς | f.72v τρίτῃ, βεβασιλευκὼς ἔτη μετὰ μὲν τῆς Θεοδώρας τῆς τούτου μητρὸς τέσσαρα καὶ δέκα, καὶ μόναρχος δέκα καὶ ἕν, καὶ πρὸς τοῖς τρισὶ μησὶ χρόνον αʹ ὕστερον μετὰ Βασιλείου.

**45.** Καὶ τὰ μὲν εἰρημένα σκηνικά τε ἅπαντα καὶ θεατρικά, ἄξιον δὲ μεμνῆσθαι καὶ τῶν ἐπαινετῶν. ἡ γὰρ τῶν ὧν ἔφερεν ἀναθημάτων ἐν τῷ πε-

**44**.49–53 : die 24 Sept. a. 867 Michael imperator trucidatus est

36–38 cf. Plutarchus, De liberis educandis 2D: οἱ δ᾽ ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες οὐδ᾽ ἂν εἴ τι γένοιτο τὴν ἐξ ἀρχῆς δύναιντ᾽ ἀναλαβεῖν εὐθυωρίαν Cap. 45: Scyl 114.52–55

27 συνέπαγεσθαι edd 27 τοσαύ|τὴν V 32 ἀνάκλησίν τινα V 32 ἐκδεχόμενοι edd : ἐκδεχομενος V 33 κἀν V 35 μετὰ μελόν τινα V 36 ἀλλοὺκ V 37 ἁρμάτιον V 38 λαβεῖν : ἀναλαβεῖν Plut. de liberis educandis 2D 38 καὶ om. edd 40 ῥίψιν V 40 ποιῆσαι τινὰ V 45 ἔκπτυστα V 48 βουλὴ V 48 τὸν om. edd 49 καταυτὸν V 51 ἰνδικτιῶνος πρώτης edd 52 ἑξακισχιλιωστοῦ τριακοσίωστοῦ ἑβδομηκοστοῦ ἕκτου V 52 ἐκ τοῦ V 55 αʹ : ἕνα edd 55 ὕτερον V

ριωνύμῳ ναῷ τοῦ θεοῦ κατασκευὴ φιλεργῶς τελεσθεῖσα καὶ φιλοτίμως ἐπαινετή. οὔτε γὰρ τῷ δίσκῳ τῶν παλαιῶν τι κειμηλίων καὶ ἱερῶν, καὶ τῶν ἀφ᾽ οὗ γεγόνασιν ἄνθρωποι τεχνουργηθέντων ἐν ναοῖς, κατὰ τὸ μέγεθος ἐξισάζεται, οὔτε τις εὐπρέπεια καὶ ὡραιότης τινὶ τῶν γενομένων ἐπήνθησεν, πάντων ἐκεῖ τῶν ὡραίων καὶ τιμίων συνδεδραμηκότων· | καὶ B 211 τὸ ποτήριον δὲ τούτῳ λίαν κατάλληλον.

Οὐ μὴν δὲ καὶ ὁ εἰς φωταγωγίαν κατασκευασθεὶς αὐτῷ κύκλος, ὅπερ φασὶ πολυκάνδηλον, τινὶ τῶν ἄλλων ἡλάττωται, ἀλλὰ καὶ οὗτος ἐκ χρυσοῦ ὅλος γενόμενος, λίτρας ἔχων ἑξήκοντα, τῶν ἄλλων διαφέρει κατὰ πολὺ καὶ τούτῳ δίδωσι τὰ πρωτεῖα καὶ τὸ σεβάσμιον.

**45.**3 τοῦ θεοῦ : τῆς τοῦ θεοῦ σοφίας edd, cf. Scyl 114.54 τῇ μεγάλῃ ἐκκλησίᾳ 8 τούτῳ edd : τοῦτο V 12 πρωτεία V